## *OLYMPIA V*

### ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩΙ ΑΠΗΝΗΙ

στρ. α′ Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν
τῶν Ὀλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ᾽ ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·

ἀντ. α′ ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον,
5 βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,

ἐπ. α′ ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ
ὃν πατέρ᾽ Ἄκρων᾽ ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.

στρ. β′ ἵκων δ᾽ Οἰνομάου καὶ Πέλοπος παρ᾽ εὐηράτων
11 σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνὸν
τὸ τεὸν ποταμόν τε Ὤανιν ἐγχωρίαν τε λίμναν

ἀντ. β′ καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατὸν
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
15 ἀπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·

ἐπ. β′ αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον
κινδύνῳ κεκαλυμμένον·
εὖ δὲ τυχόντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416113117/25 UNIVERSITÄT LEIPZIG